Τῷ Θεστορίδῃ.

Θεστορίδη θνητοῖσιν ἀνωΐστων πολέων περ,
Οὐδὲν ἀφραστότερον πέλεται νόου ἀνθρώποισιν.

Ποσειδῶνι.

Κλῦθι Ποσείδαον μεγαλοσθενὲς Ἐννοσίγαιε,
Εὐρυχόρου μεδέων ἠδὲ ξανθοῦ Ἑλικῶνος.
Δὸς δ' οὖρον καλὸν καὶ ἀπήμονα νόστον ἰδέσθαι
Ναύταις, οἳ νηὸς πομποὶ ἠδ' ἀρχοί ἐασι.
Δὸς δ' ἐς ὑπώρειαν ὑψικρήμνοιο Μίμαντος
Αἰδοίων μ' ἐλθόντα βροτῶν ὁσίων γε κυρῆσαι.
Φῶτά τε τισαίμην ὃς ἐμὸν νόον ἠπεροπεύσας,
Ὤδυσε Ζῆνα ξένιον ξενίην τε τράπεζαν.

Εἰς πόλιν Ἐρυθραίαν.

Πότνια γῆ, πάνδωρε, δότειρα μελίφρονος ὄλβου,
Ὡς ἄρα δὴ τοῖς μὲν φωτῶν εὔοχθος ἐτύχθης,
Τοῖσι δὲ δύσβωλος καὶ τρηχεῖ' οἷς ἐχολώθης.

Πρὸς Ναύτας.

Ναῦται ποντοπόροι στυγερῇ ἐναλίγκιοι ἄτῃ,
Πτωκάσιν αἰθυίῃσι βίον δύσζηλον ἔχοντες,
Αἰδεῖσθε ξενίοιο Διὸς σέβας ὑψιμέδοντος.
Δεινὴ γὰρ μέτοπις ξενίου Διὸς, ὅς κ' ἀλίτηται.

Πίτυς.

Ἄλλη τίς σου πεύκη ἀμείνονα καρπὸν ἵησιν
Ἴδης ἐν κορυφῇσι πολυπτύχου ἠνεμοέσσης,
Ἔνθα σίδηρος Ἄρηος ἐπιχθονίοισι βροτοῖσιν
Ἔσσεται εὖτ' ἄν μιν Κεβρήνιοι ἄνδρες ἔχωσι.

Εἰς Γλαῦκον τὸν αἰπόλον.

Γλαῦκε πέπων ἐπιών τοι ἔπος τι ἐνὶ φρεσὶ θήσω,
Πρῶτον μὲν κυσὶ δεῖπνον ἐπ' αὐλείῃσι θύρῃσι
Δοῦναι. ὡς γὰρ ἄμεινον. ὁ γὰρ καὶ πρῶτον ἀκούει
Ἀνδρὸς ἐπερχομένου, καὶ ἐς ἕρκεα θηρὸς ἰόντος.

Πρὸς τὴν ἱέρειαν ἐν Σάμῳ.

Κλῦθί μοι εὐχομένῳ κουροτρόφε, δὸς δὲ γυναῖκα
Τήνδε νέων μὲν ἀνήνασθαι φιλότητα καὶ εὐνὴν,
Ἡ δ' ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν,
Ὧν ὥρη μὲν ἀπαμβλύνεται, θυμὸς δὲ μενοινᾷ.

Εἰς οἶκον τῶν Φρατόρων.

Ἀνδρὸς μὲν στέφανος, παῖδες πύργοι δὲ πόληος.
Ἵπποι δ' ἐν πεδίῳ κόσμος. νῆες δὲ, θαλάσσης·
Χρήματα δ' αὔξει οἶκον ἀτὰρ γεραροὶ βασιλῆες
Ἥμενοι εἰν ἀγορῇ, κόσμος τ' ἄλλοισιν ὁρᾶσθαι
Αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι.

Ὁ Κάμινος.

Εἰ μὲν δώσετε μισθὸν, ἀείσω ὦ κεραμῆες.
Δεῦρ' ἄγ' Ἀθηναίη, καὶ ὑπείρεχε χεῖρα καμίνου.
Εὖ δὲ μελανθεῖεν κότυλοι, καὶ πάντα μάλ' ἱερά·
Φρυχθῆναί τε καλῶς καὶ τιμῆς ὦνον ἀρέσθαι,
Πολλὰ μὲν εἰν ἀγορῇ πωλεύμενα, πολλὰ δ' ἀγυιαῖς,
Πολλὰ δὲ κερδῆναι ἡμῖν δὲ δὴ ὡς σφι νοῆσαι·
Ἢν δ' ἐπ' ἀναιδείην τρεφθέντες ψεύδη ἄρησθε,
Συγκαλέω δ' ἤπειτα καμίνων δηλητῆρας.
Σύντριβ' ὁμῶς Μάραγόν τε καὶ Ἄσβετον, ἠδὲ γ' Ἄβακτον,
Ὠμόδαμόν θ' ὃς τῇδε τέχνῃ κακὰ πολλὰ πορίζει.

Thestoridæ.

*Thestoride, ex multis, mortalib. abdita quæ sunt.*
*Mens habet in primis cæcos humana processus.*

Neptuno.

*Audi qui pelagus valido Neptune tridenti*
*Imperioq́; regis, spaciosaq́; culta Heliconis:*
*Da precor his nautis reditum ventosq́; secūdos,*
*Qui mihi sunt comites placidi, nauisq́; magistri.*
*At mihi da misero sacram contingere terram,*
*Aerius quo parte Mimas ad sydera surgit.*
*Inde hominis iusti me fac succedere tectis,*
*Vlcisciq́; virum qui me improbitate fefellit,*
*Læsit & hospitij sacra iura Iouemq́; benignum.*

Ad Erythræam.

*O sacra multorum largitrix terra bonorum,*
*Quàm tu plana alijs & parte æqualis ab omni,*
*Aspera contrà alijs, in quos conuerteris iram.*

Ad Nautas.

*Insidi nautæ, gens diris tristior ipsis,*
*Sæua quibus veluti mergis dant æquora victum,*
*Si vobis nulla est hominum reuerentia cordi,*
*At sperate Iouem, summo qui regnat Olympo:*
*Tristis enim vultus Iouis est, pœnæq́; paratæ,*
*His quibus hospitij non est pia tessera curæ.*

Pinus.

*Funduntur fructus alia magis arbore dulces,*
*Quam fouet vmbrosis felix in collibus Ida.*
*Hinc ferrum veniet Martis validæq́; secures.*
*His vbi consistet campis Cebrenia pubes.*

Ad Glaucum caprarium.

*Glauce precor, paucis me audi, pareq́; monenti,*
*Præ foribus stabuli canibus sua fercula primùm*
*Fac tradas: nam sic melius custodibus illis,*
*Nec fera nec fures venient ad septa dolosi.*

Aduersus Antistitam Samiam.

*Diue preces audito meas, mulierq́; facista,*
*Auersata torum iuuenili ætate vigentum,*
*Canorum veterumq́; senum capiatur amore,*
*Est ætas effœta quibus, sed prompta voluntas.*

In Palatium curialium.

*Vt patris nati, sic turres sunt decus vrbis:*
*Sic & equi campum decorant: sic æquora naues:*
*Sic & opes ornant ædes, præsentia regum*
*Augusto in solio decorat fora lata sedentum:*
*At lucente domus multò est augustior igne.*

Fornax.

*Si mihi mercedem dabitis figuli ista canemus,*
*Huc ades ô Pallas, dextraq́; foueto caminum,*
*Pulcrè vt durescant calices & mollia cuncta,*
*Siccenturq́; probè, & figulis lucra magna reportent.*
*Vendita perq́; forum multa, & per compita multa.*
*Sic illis quæstus crescat, prudentia nobis.*
*At si deposito iuuat irridere pudore,*
*Huc precor vt pestes veniant quæcunq́; per orbem*
*Grassantur, fundant & in hanc mala cuncta caminū.*
*Irruat huc Smaragus grauis Asbetus, atq́; Sabactes:*
*Contere tu Pallas flammamq́; & vasa camini.*
*Ille licet rapido multùm nunc ferueat æstu,*



Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/ppn343456362/913
gefördert von der Deutschen Forschungsgemeinschaft DFG